# ΠΡΟΣ ΤΙΤΟΝ

1 Παῦλος, δοῦλος Θεοῦ, ἀπόστολος δὲ Ἰησοῦ
Χριστοῦ, κατὰ πίστιν ἐκλεκτῶν Θεοῦ καὶ
ἐπίγνωσιν ἀληθείας τῆς κατ᾽ εὐσέβειαν,
2 ἐπ᾽ ἐλπίδι ζωῆς αἰωνίου, ἣν ἐπηγγείλατο
ὁ ἀψευδὴς Θεὸς πρὸ χρόνων αἰωνίων,
3 ἐφανέρωσε δὲ καιροῖς ἰδίοις τὸν λόγον
αὐτοῦ ἐν κηρύγματι ὃ ἐπιστεύθην ἐγὼ κατ᾽
ἐπιταγὴν τοῦ σωτῆρος ἡμῶν Θεοῦ, 4 Τίτῳ
γνησίῳ τέκνῳ κατὰ κοινὴν πίστιν· χάρις,
*ἔλεος, εἰρήνη ἀπὸ Θεοῦ πατρός, καὶ †Κυρίου
Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος ἡμῶν.
5 Τούτου χάριν ‡κατέλιπόν σε ἐν Κρήτῃ, ἵνα
τὰ λείποντα ἐπιδιορθώσῃ, καὶ καταστήσῃς
κατὰ πόλιν πρεσβυτέρους, ὡς ἐγώ σοι
διεταξάμην· 6 εἴ τίς ἐστιν ἀνέγκλητος, μιᾶς
γυναικὸς ἀνήρ, τέκνα ἔχων πιστά, μὴ ἐν
κατηγορίᾳ ἀσωτίας ἢ ἀνυπότακτα. 7 Δεῖ
γὰρ τὸν ἐπίσκοπον ἀνέγκλητον εἶναι, ὡς
Θεοῦ οἰκονόμον· μὴ αὐθάδη, μὴ ὀργίλον, μὴ
πάροινον, μὴ πλήκτην, μὴ αἰσχροκερδῆ, 8 ἀλλὰ
φιλόξενον, φιλάγαθον, σώφρονα, δίκαιον,
ὅσιον, ἐγκρατῆ, 9 ἀντεχόμενον τοῦ κατὰ τὴν
διδαχὴν πιστοῦ λόγου, ἵνα δυνατὸς ᾖ καὶ
παρακαλεῖν ἐν τῇ διδασκαλίᾳ τῇ ὑγιαινούσῃ,
καὶ τοὺς ἀντιλέγοντας ἐλέγχειν.

---

* 1:4 ελεος 91.3% ¦ και CT 4.2% † 1:4 κυριου ιησου χριστου ¦ χριστου ιησου CT ‡ 1:5 κατελιπον ¦ απελιπον NA SBL ¦ απελειπον TH WH

10 Εἰσὶ γὰρ πολλοὶ §καὶ ἀνυπότακτοι,
ματαιολόγοι καὶ φρεναπάται, μάλιστα οἱ ἐκ
*περιτομῆς, 11 οὓς δεῖ ἐπιστομίζειν· οἵτινες
ὅλους οἴκους ἀνατρέπουσι, διδάσκοντες ἃ μὴ
δεῖ, αἰσχροῦ κέρδους χάριν. 12 Εἶπέ τις ἐξ
αὐτῶν, ἴδιος αὐτῶν προφήτης,

Κρῆτες ἀεὶ ψεῦσται, κακὰ θηρία, γαστέρες
ἀργαί.

13 Ἡ μαρτυρία αὕτη ἐστὶν ἀληθής. Δι᾽
ἣν αἰτίαν ἔλεγχε αὐτοὺς ἀποτόμως, ἵνα
ὑγιαίνωσιν ἐν τῇ πίστει, 14 μὴ προσέχοντες
Ἰουδαϊκοῖς μύθοις, καὶ ἐντολαῖς ἀνθρώπων
ἀποστρεφομένων τὴν ἀλήθειαν. 15 Πάντα †μὲν
καθαρὰ τοῖς καθαροῖς· τοῖς δὲ ‡μεμιασμένοις
καὶ ἀπίστοις οὐδὲν καθαρόν· ἀλλὰ μεμίανται
αὐτῶν καὶ ὁ νοῦς καὶ ἡ συνείδησις.
16 Θεὸν ὁμολογοῦσιν εἰδέναι, τοῖς δὲ ἔργοις
ἀρνοῦνται, βδελυκτοὶ ὄντες καὶ ἀπειθεῖς καὶ
πρὸς πᾶν ἔργον ἀγαθὸν ἀδόκιμοι.

# 2

1 Σὺ δὲ λάλει ἃ πρέπει τῇ ὑγιαινούσῃ
διδασκαλίᾳ· 2 πρεσβύτας *νηφαλέους εἶναι,
σεμνούς, σώφρονας, ὑγιαίνοντας τῇ πίστει,
τῇ ἀγάπῃ, τῇ ὑπομονῇ· 3 πρεσβύτιδας
ὡσαύτως ἐν καταστήματι ἱεροπρεπεῖς, μὴ

§ **1:10** και ¦ — TH WH * **1:10** περιτομης ¦ της περιτομης CT † **1:15** μεν ¦ — CT ‡ **1:15** μεμιασμενοις ¦ μεμιαμμενοις ANT CT * **2:2** νηφαλεους ¦ νηφαλιους ANT BYZ CT PCK TR

διαβόλους, †μὴ οἴνῳ πολλῷ δεδουλωμένας, καλοδιδασκάλους,
4 ἵνα ‡σωφρονίζωσι τὰς νέας φιλάνδρους εἶναι, φιλοτέκνους,
5 σώφρονας, ἁγνάς, §οἰκουρούς, ἀγαθάς, ὑποτασσομένας τοῖς ἰδίοις ἀνδράσιν, ἵνα μὴ ὁ λόγος τοῦ Θεοῦ βλασφημῆται·
6 τοὺς νεωτέρους ὡσαύτως παρακάλει σωφρονεῖν·
7 περὶ πάντα σεαυτὸν παρεχόμενος τύπον καλῶν ἔργων, ἐν τῇ διδασκαλίᾳ *ἀδιαφθορίαν, σεμνότητα, ἀφθαρσίαν,
8 λόγον ὑγιῆ, ἀκατάγνωστον, ἵνα ὁ ἐξ ἐναντίας ἐντραπῇ, μηδὲν ἔχων †περὶ ‡ἡμῶν λέγειν φαῦλον.
9 Δούλους ἰδίοις δεσπόταις ὑποτάσσεσθαι, ἐν πᾶσιν εὐαρέστους εἶναι, μὴ ἀντιλέγοντας,
10 μὴ νοσφιζομένους, ἀλλὰ §πίστιν πᾶσαν ἐνδεικνυμένους ἀγαθήν, ἵνα τὴν διδασκαλίαν *τοῦ σωτῆρος †ἡμῶν Θεοῦ κοσμῶσιν ἐν πᾶσιν.

11 Ἐπεφάνη γὰρ ἡ χάρις τοῦ Θεοῦ ‡ἡ σωτήριος πᾶσιν ἀνθρώποις,
12 παιδεύουσα ἡμᾶς ἵνα, ἀρνησάμενοι τὴν ἀσέβειαν καὶ τὰς κοσμικὰς ἐπιθυμίας, σωφρόνως καὶ δικαίως καὶ εὐσεβῶς ζήσωμεν ἐν τῷ νῦν αἰῶνι,
13 προσδεχόμενοι τὴν μακαρίαν ἐλπίδα καὶ ἐπιφάνειαν τῆς δόξης τοῦ μεγάλου Θεοῦ καὶ

---

† **2:3** μη ¦ μηδε SBL TH WH ‡ **2:4** σωφρονιζωσι ¦ σωφρονιζουσι TH § **2:5** οικουρους ¦ οικουργους CT * **2:7** αδιαφθοριαν σεμνοτητα αφθαρσιαν 68% ¦ αφθοριαν σεμνοτητα CT 3.1% † **2:8** περι ημων λεγειν ¦ λεγειν περι ημων CT ‡ **2:8** ημων ¦ υμων TR § **2:10** πιστιν πασαν 79.8% ¦ πασαν πιστιν CT 8.8% * **2:10** του ¦ την του CT † **2:10** ημων ¦ υμων ST ‡ **2:11** η ¦ — CT

σωτῆρος ἡμῶν §Ἰησοῦ Χριστοῦ, 14 ὃς ἔδωκεν
ἑαυτὸν ὑπὲρ ἡμῶν, ἵνα λυτρώσηται ἡμᾶς ἀπὸ
πάσης ἀνομίας, καὶ καθαρίσῃ ἑαυτῷ λαὸν
περιούσιον, ζηλωτὴν καλῶν ἔργων. 15 Ταῦτα
λάλει, καὶ παρακάλει, καὶ ἔλεγχε μετὰ πάσης
ἐπιταγῆς. Μηδείς σου περιφρονείτω.

# 3

1 Ὑπομίμνῃσκε αὐτοὺς ἀρχαῖς *καὶ
ἐξουσίαις ὑποτάσσεσθαι, πειθαρχεῖν, πρὸς
πᾶν ἔργον ἀγαθὸν ἑτοίμους εἶναι, 2 μηδένα
βλασφημεῖν, ἀμάχους εἶναι, ἐπιεικεῖς,
πᾶσαν ἐνδεικνυμένους †πρᾳότητα πρὸς
πάντας ἀνθρώπους. 3 Ἦμεν γάρ ποτε
καὶ ἡμεῖς ἀνόητοι, ἀπειθεῖς, πλανώμενοι,
δουλεύοντες ἐπιθυμίαις καὶ ἡδοναῖς
ποικίλαις, ἐν κακίᾳ καὶ φθόνῳ διάγοντες,
στυγητοί, ‡μισοῦντες ἀλλήλους. 4 Ὅτε δὲ ἡ
χρηστότης καὶ ἡ φιλανθρωπία ἐπεφάνη τοῦ
σωτῆρος ἡμῶν Θεοῦ, 5 οὐκ ἐξ ἔργων τῶν
ἐν δικαιοσύνῃ §ὧν ἐποιήσαμεν ἡμεῖς, ἀλλὰ
κατὰ *τὸν αὐτοῦ ἔλεον ἔσωσεν ἡμᾶς, διὰ
λουτροῦ †παλιγγενεσίας καὶ ἀνακαινώσεως
Πνεύματος Ἁγίου, 6 οὗ ἐξέχεεν ἐφ᾽ ἡμᾶς
πλουσίως, διὰ Ἰησοῦ Χριστοῦ τοῦ σωτῆρος
ἡμῶν, 7 ἵνα δικαιωθέντες τῇ ἐκείνου χάριτι,

---

§ **2:13** ιησου χριστου ¦ χριστου ιησου WH * **3:1** και ¦ — CT † **3:2** πραοτητα ¦ πραυτητα CT ‡ **3:3** μισουντες ¦ μεισουντες TH § **3:5** ων ¦ α CT * **3:5** τον αυτου ελεον ¦ το αυτου ελεος CT † **3:5** παλιγγενεσιας ¦ παλινγενεσιας TH WH

κληρονόμοι ‡γενώμεθα κατʼ ἐλπίδα ζωῆς
αἰωνίου. 8 Πιστὸς ὁ λόγος, καὶ περὶ τούτων
βούλομαί σε διαβεβαιοῦσθαι, ἵνα φροντίζωσι
καλῶν ἔργων προΐστασθαι οἱ πεπιστευκότες
§Θεῷ. Ταῦτά ἐστι *τὰ καλὰ καὶ ὠφέλιμα
τοῖς ἀνθρώποις· 9 μωρὰς δὲ ζητήσεις καὶ
γενεαλογίας καὶ †ἔρεις καὶ μάχας νομικὰς
περιΐστασο· εἰσὶ γὰρ ἀνωφελεῖς καὶ μάταιοι.
10 Αἱρετικὸν ἄνθρωπον μετὰ μίαν καὶ
δευτέραν νουθεσίαν παραιτοῦ, 11 εἰδὼς ὅτι
ἐξέστραπται ὁ τοιοῦτος, καὶ ἁμαρτάνει, ὢν
αὐτοκατάκριτος.

12 Ὅταν πέμψω Ἀρτεμᾶν πρός σε ἢ Τυχικόν,
σπούδασον ἐλθεῖν πρός με εἰς Νικόπολιν· ἐκεῖ
γὰρ κέκρικα παραχειμάσαι. 13 Ζηνᾶν τὸν
νομικὸν καὶ ‡Ἀπολλῶ σπουδαίως πρόπεμψον,
ἵνα μηδὲν αὐτοῖς λείπῃ. 14 Μανθανέτωσαν δὲ
καὶ οἱ ἡμέτεροι καλῶν ἔργων προΐστασθαι εἰς
τὰς ἀναγκαίας χρείας, ἵνα μὴ ὦσιν ἄκαρποι.

15 Ἀσπάζονταί σε οἱ μετʼ ἐμοῦ πάντες.
Ἄσπασαι τοὺς φιλοῦντας ἡμᾶς ἐν πίστει.

Ἡ χάρις μετὰ πάντων ὑμῶν. §Ἀμήν.*

---

‡ **3:7** γενωμεθα ¦ γενηθωμεν CT § **3:8** θεω ¦ τω θεω ANT PCK TR * **3:8** τα ¦ — CT † **3:9** ερεις ¦ ερις PCK ¦ εριν WH ‡ **3:13** απολλω ¦ απολλων CT § **3:15** αμην ¦ — CT
* **3:15** The following scribal note is included in the colophons of many Greek manuscripts: Πρὸς Τίτον τῆς Κρητῶν ἐκκλησίας πρῶτον ἐπίσκοπον χειροτονηθέντα ἐγράφη ἀπὸ Νικοπόλεως τῆς Μακεδονίας.

# Η Καινή Διαθήκη
## The New Testament in Ancient Greek with critical text notes

Public Domain

Language: Ελληνικά (Greek, Ancient)

Translation by: Maurice A. Robinson

Contributor: Robert Adam Boyd

The Text-Critical Greek New Testament is based upon The New Testament in the Original Greek: Byzantine Textform 2018, compiled and arranged by Maurice A. Robinson and William G. Pierpont.
The following disclaimer is printed in the The New Testament in the Original Greek: Byzantine Textform 2018:
Anyone is permitted to copy and distribute this text or any portion of this text. It may be incorporated in a larger work, and/or quoted from, stored in a database retrieval system, photocopied, reprinted, or otherwise duplicated by anyone without prior notification, permission, compensation to the holder, or any other restrictions. All rights to this text are released to everyone and no one can reduce these rights at any time. Copyright is not claimed nor asserted for either the preface, notes, or the new and revised form of the Greek NT text of this edition, nor for the original form of such as initially released into the public domain by the editors, first as printed textual notes in 1979, continuous-text electronic form 1986–present, and in published editions from 1991, 2005, and 2010.
The permitted use or reproduction of the Greek text or other material contained within this volume (whether by print, electronic media, or other form) does not imply doctrinal or theological agreement by the present editors and publisher with whatever views may be maintained or promulgated by other publishers. For the purpose of assigning responsibility, it is requested that the present editors' names and the title associated with this text as well as this disclaimer be retained in any subsequent reproduction of this material.

2024-03-15

---

PDF generated using Haiola and XeLaTeX on 15 Mar 2024 from source files dated 15 Mar 2024
ebdf933b-03a4-5add-853f-51a05e168973